‘βροτῶν ἕνεκα πτολεμίζειν
δειλῶν, οἳ φύλλοισιν ἐοικότες ἄλλοτε μέν τε
ζαφλεγέες τελέθουσιν ἀρούρης καρπὸν ἔδοντες,
ἄλλοτε δὲ φθινύθουσιν ἀκήριοι, οὐδέ τις ἀλκή.’ | 4

Σιμωνίδης δ᾽ ὁ τῶν μελῶν ποιητής, Παυσανίου τοῦ βασι- 105
λέως τῶν Λακεδαιμονίων μεγαλαυχουμένου συνεχῶς ἐπὶ ταῖς αὑτοῦ πράξεσι καὶ κελεύσαντος ἀπαγγεῖλαί τι αὐτῷ σοφὸν μετὰ χλευασμοῦ, συνεὶς αὐτοῦ τὴν ὑπερηφανίαν συνεβούλευσε μεμνῆσθαι ὅτι ἄνθρωπός ἐστι. Φίλιππος δ᾽ ὁ τῶν Μακεδόνων
βασιλεὺς τριῶν αὐτῷ προσαγγελθέντων εὐτυχημάτων ὑφ᾽ ἕνα 10
καιρόν, πρώτου μὲν ὅτι τεθρίππῳ νενίκηκεν Ὀλύμπια, δευτέρου δ᾽ ὅτι Παρμενίων ὁ στρατηγὸς μάχῃ Δαρδανεῖς ἐνίκησε, τρίτου δ᾽ ὅτι ἄρρεν αὐτῷ παιδίον τέτοκεν ἡ Ὀλυμπιάς, ἀνατείνας εἰς τὸν οὐρανὸν τὰς χεῖρας ‘ὦ δαῖμον’ εἶπε, ‘μέτριόν
τι τούτοις ἀντίθες ἐλάττωμα’, εἰδὼς ὅτι τοῖς μεγάλοις εὐτυ- B
χήμασι φθονεῖν πέφυκεν ἡ τύχη. Θηραμένης δ᾽ ὁ γενόμενος 16
Ἀθήνησι τῶν τριάκοντα τυράννων, συμπεσούσης τῆς οἰκίας ἐν ᾗ μετὰ πλειόνων ἐδείπνει, μόνος σωθεὶς καὶ πρὸς πάντων εὐδαιμονιζόμενος, ἀναφωνήσας μεγάλῃ τῇ φωνῇ ‘ὦ Τύχη’
εἶπεν, ‘εἰς τίνα με καιρὸν ἄρα φυλάττεις;’ μετ᾽ οὐ πολὺν δὲ 20
χρόνον καταστρεβλωθεὶς ὑπὸ τῶν συντυράννων ἐτελεύτησεν.

7. Ὑπερφυῶς δὲ φαίνεται περὶ τὴν παραμυθίαν ὁ ποιητὴς εὐδοκιμεῖν, ποιήσας τὸν Ἀχιλλέα λέγοντα πρὸς τὸν Πρίαμον ἥκοντα ἐπὶ λύτρα τοῦ Ἕκτορος ταυτί (Ω 522)

‘ἀλλ᾽ ἄγε δὴ κατ᾽ ἄρ᾽ ἕζευ ἐπὶ θρόνου, ἄλγεα δ᾽ ἔμπης C
ἐν θυμῷ κατακεῖσθαι ἐάσομεν ἀχνύμενοί περ· 26
οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.